Review of indicative verbs
Post-reading, Paul's Mission to Corinth (Acts 18:1-17)

Look at the list of verbs on the second page and then insert them into the place that makes the most sense. Do not look at the original passage until you have completed the exercise.

[1] Μετὰ ταῦτα χωρισθεὶς ἐκ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον. [2] καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῆς Ῥώμης, __________ αὐτοῖς, [3] καὶ διὰ τὸ ὁμότεχνον εἶναι ἔμενεν παρ᾽ αὐτοῖς καὶ ___________, ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ. ___________ δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, [4] ἔπειθέν τε Ἰουδαίους καὶ Ἕλληνας. [5] Ὡς δὲ ___________ ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, ____________ τῷ λόγῳ ὁ Παῦλος, διαμαρτυρόμενος τοῖς Ἰουδαίοις εἶναι τὸν χριστὸν Ἰησοῦν. [6] ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων ἐκτιναξάμενος τὰ ἱμάτια _________ πρὸς αὐτούς Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν: καθαρὸς ἐγώ: ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. [7] καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Τιτίου Ἰούστου σεβομένου τὸν θεόν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. [8] Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος ____________ τῷ κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ____________. [9] Εἶπεν δὲ ὁ κύριος ἐν νυκτὶ δι᾽ ὁράματος τῷ Παύλῳ "Μὴ φοβοῦ," ἀλλὰ λάλει καὶ μὴ ____________, [10] "διότι ἐγώ εἰμι μετὰ σοῦ" καὶ οὐδεὶς ____________ σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. [11] ____________ δὲ ἐνιαυτὸν καὶ μῆνας ἓξ διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ θεοῦ. [12] Γαλλίωνος δὲ ἀνθυπάτου ὄντος τῆς Ἀχαίας _____________ οἱ Ἰουδαῖοι ὁμοθυμαδὸν τῷ Παύλῳ καὶ ___________ αὐτὸν ἐπὶ τὸ βῆμα, [13] λέγοντες ὅτι Παρὰ τὸν νόμον ___________ οὗτος τοὺς ἀνθρώπους σέβεσθαι τὸν θεόν. [14] μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους Εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ____________ ὑμῶν: [15] εἰ δὲ ζητήματά ἐστιν περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ᾽ ὑμᾶς, ___________ αὐτοί: κριτὴς ἐγὼ τούτων οὐ βούλομαι εἶναι. [16] καὶ ___________ αὐτοὺς ἀπὸ τοῦ βήματος. [17] ἐπιλαβόμενοι δὲ πάντες Σωσθένην τὸν ἀρχισυνάγωγον ___________ ἔμπροσθεν τοῦ βήματος: καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν.

ἀναπείθει

ἀνεσχόμην

ἀπήλασεν

διελέγετο

ἐβαπτίζοντο

εἶπεν

Ἐκάθισεν

ἐπιθήσεταί

ἐπίστευσεν

ἔτυπτον

ἤγαγον

ἠργάζοντο

κατεπέστησαν

κατῆλθον

ὄψεσθε

προσῆλθεν

σιωπήσῃς

συνείχετο